## ΟΡΧΟΜΕΝΙΩΝ πολιτεία.

Πολυδεύκης βιβ. ι. κεφ. λη. Καὶ ὅταν μὲν ἐν Ἀχαρνεῦσιν εἴπῃ Ἀριστοφάνης, ἀχάρνας χρυσίου, τὸ ἀγγεῖον ἴσως Περσικόν· ἔνιοι δὲ τὴν θεωρικὴν κίστην οὕτω κεκλῆσθαι νομίζουσιν. ἐν δὲ Ἀριστοτέλους Ὀρχομενίων πολιτείᾳ, μέτρον ἐστὶ τετταράκοντα μεδίμνοις χωροῦν Ἀττικοῖς.

## ΣΑΜΙΩΝ πολιτεία.

Ζηνόβιος ἐν Ἐπιτομῇ τῶν Ταρῤαίου καὶ Διδύμου παροιμιῶν. Τὸ περὶ δρυῶν σκότος· Ἀριστοτέλης φησὶν ἐν τῇ Σαμίων πολιτείᾳ Πριηνέας πολλοὺς ὑπὸ Σαμίων ἀναιρεθῆναι περὶ τὴν καλουμένην Δρῦν· ὅθεν καὶ τὰς Πριηνέας γυναῖκας ὀμνῦναι τὸ περὶ δρυῶν σκότος.

## ΣΑΜΟΘΡΑΚΗΣ πολιτεία.

Ἐν τοῖς εἰς τὸ πρῶτον τῶν Ἀπολλωνίου Ἀργοναυτικῶν. Ἡ δὲ Σαμοθράκη ἐκαλεῖτο πρότερον λευκοσία, ὡς ἱστορεῖ Ἀριστοτέλης ἐν Σαμοθράκης πολιτείᾳ.

## ΣΙΚΥΩΝΙΩΝ πολιτεία.

Πολυδεύκης, ἐννάτῃ. Ἀριστοτέλης δὲ αὐτὰ ταῦτα λέγων ἐν Σικυωνίων πολιτείᾳ, σμικρόν τι καινοτομεῖ. ὀφελλοὺς γὰρ αὐτοὺς ὀνομάζει, λέγων, τοῦ μὲν ὀφέλλειν δηλοῦντος τὸ αὔξειν, αὐτῶν δὲ διὰ τὸ εἰς μῆκος ηὐξῆσθαι, ὧδε κληθέντων. ὅθεν καὶ τὸ ὠφελεῖν ὀνομάσθαί φησιν οὐκ οἶδ' ὅπως. ἐπεὶ μέντοι τὸν ὀβολὸν ὑπηλλάχθαι τὸ φ εἰς τὸ β κατὰ συγγένειαν.

## ΣΥΡΑΚΟΥΣΙΩΝ πολιτεία.

Ἀθήναιος Δειπνοσοφ. ι. Ἀριστοτέλης δ' ἐν τῇ Συρακοισίων πολιτείᾳ καὶ συνεχῶς φησὶν αὐτὸν ἔσθ' ὅτε ἐπὶ ἡμέρας ἐνενήκοντα μεθύειν· διὸ καὶ ἀμβλυωπότερον γενέσθαι τὰς ὄψεις.

## ΤΑΡΑΝΤΙΝΩΝ πολιτεία.

Πολυδεύκης, ἐν τῇ θ'. Καὶ Ἀριστοτέλης ἐν τῇ Ταραντίνων πολιτείᾳ φησὶ καλεῖσθαι νόμισμα παρ' αὐτοῖς νοῦμμον, ἐφ' οὗ ἐντετυπῶσθαι Τάραντα τὸν Ποσειδῶνος, δελφῖνι ἐποχούμενον.

## ΤΕΓΕΑΤΩΝ πολιτεία.

Ἐν τοῖς εἰς τὰς Ἀριστοφάνους Νεφέλας σχολίοις. Ἀριστοτέλης δ' ἐν τῇ Τεγεατῶν πολιτείᾳ φησὶν ὅτι βάρβαροι τὴν Ἀρκαδίαν ᾤκησαν· οἵτινες ἐξεβλήθησαν ὑπὸ τῶν νῦν Ἀρκάδων πρὸ τοῦ ἐπιτεῖλαι τὴν σελήνην· διὸ καὶ προσωνομάσθησαν προσέληνοι.

## ΤΕΝΕΔΙΩΝ πολιτεία.

Στέφανος ὁ Βυζάντιος, Τένεδος. Ἔστι καὶ ἑτέρα παροιμία, Τενέδιος πέλεκυς, ἐπὶ τῶν ἤτοι πικρῶς ἢ καὶ μᾶλλον συντόμως ἀποκοπτόντων τὰ ζητήματα, καὶ τὰ ἄλλα πράγματα· καί φησιν Ἀριστείδης καὶ ἄλλοι, τὸν ἐν Τενέδῳ Ἀπόλλωνα πέλεκυν κρατεῖν διὰ τὰ συμβάντα τοῖς περὶ Τέννην· ἢ μᾶλλον ὥς φησιν Ἀριστοτέλης ἐν τῇ Τενεδίων πολιτείᾳ ὅτι βασιλεύς τις ἐν Τενέδῳ νόμον ἔθηκε τὸν καταλαμβάνοντα μοιχοὺς ἀναιρεῖν πελέκει ἀμφοτέρους· ἐπειδὴ δὲ συνέβη τὸν υἱὸν αὐτοῦ καταληφθῆναι μοιχὸν, ἐκύρωσε καὶ περὶ τοῦ ἰδίου παιδὸς τηρηθῆναι τὸν νόμον. καὶ ἀναιρεθέντος, εἰς παροιμίαν ἐλθεῖν τὸ πρᾶγμα ἐπὶ τῶν ὠμῶς πραττομένων. διὰ τοῦτο φησὶ, καὶ ἐπὶ τοῦ νομίσματος τῶν Τενεδίων κεχαράχθαι ἐν μὲν τῷ ἑτέρῳ μέρει πέλεκυν, ἐπὶ δὲ τοῦ ἑτέρου δύο κεφαλὰς εἰς ὑπόμνησιν τοῦ περὶ τὸν παῖδα παθήματος.

ΤΡΟΙ-